Ερ. Ὦ εἶα.
Χο. Εἶα μάλα.
Ερ. Ὦ εἶα.
Χο. Εἶα ἔτι μάλα.
Ερ. Ὦ εἶα, ὦ εἶα.
Τρ. Ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως,
Οὐχὶ ξυλλήψεσθ', οἷ' ὀγκύλλε-
σθ', οἰμώξεσθ' οἱ Βοιωτοί.
B Ερ. Εἶα νῦν.
Τρ. Εἶα, ὦ.
Χο. Ἄγετε, ξυνέλκετον καὶ σφώ.
Τρ. Οὔκουν ἕλκω κἀξαρτῶμαι,
Κἀμπίπτω καὶ σπουδάζω.
Ερ. Πῶς οὖν οὐ χωρεῖ τοὔργον;
Χο. Ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμε-
νος,
Οὐδὲν δεόμεθ' ὦ 'νθρωπε τῆς σῆς μορμόνος.
C Ερμ. Οὐδ' οἵδε γ' εἷλκον, οὐδὲν Ἀργεῖοι
πάλαι.
Ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
Καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
Τρυ. Ἀλλ' οἱ Λάκωνες ὦ 'γαθ' ἕλκουσ' ἀνδρι-
κῶς.
Ερ. Ἆρ' οἶσθ' ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
Μόνοι προθυμοῦντ', ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
D Χο. Οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν, ἕλκουσι δ' ὅ-
μως
Γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια,
Ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
Τρ. Οὐδὲν ποιοῦμεν ἄνδρες, ἀλλ' ὁμοθυ-
μαδὸν
Ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.

A MER. *O eia.*
CH. *Eia magis.*
MER. *O eia.*
CH. *Eia magis adhuc.*
MER. *O eia, ô eia.*
TR. *At non ducunt pariter funes.*
*Quid superbè lenti estis? vos aio*
*Ploraturos Bœoti.*
B MER. *Eia nunc.*
TR. *Eia ô.*
CH. *Trahite atque ducite vnà vos.*
TR. *En tractim duco & sustollor:*
*Mox casurus valde incumbo.*
MER. *Cur nil ergo procedit?*
CH. *O Lamache lentus dum sedes, nobis no-*
*ces:*
*Nil indigemus hacce Mania tua.*
C MER. *Ac nil trahebat prorsus olim Argiua*
*gens,*
*Risúque clades differebat bellicas,*
*Merens farinas ex vtrisque partibus.*
TRY. *At, bone, Lacones fortiter trahunt viri.*
MER. *Scin' quos reuinctos neruus & cippus te-*
*nent,*
*Hoc postulare solos si custos sinat?*
D CH. *Neque Megarenses quidquam agunt, tra-*
*hunt tamen,*
*Misere macentes improbi vt catuli solent,*
*Sic per Iouem illos dira perdidit fames.*
TRY. *Nil promouemus, ô viri, agite omnes si-*
*mul:*
*Rursum decet nos pariter adiutarier.*

Σχόλια. Ὦ εἶα.] διπλῆ καὶ ἔκθεσις ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκειμένου ἐν ἐκθέσει καὶ παρεκθέσει.
E ἄλλως. ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ιδ. ἔχει δὲ ἑξῆς καὶ ἀντιστροφὴν ἐξ ὁμοίων ἀρχομένην κώλων. καὶ ἔστι τὸ μὲν πρῶτον τρισύλλαβον κατὰ παλιμβάκχειον. τὸ δὲ β παίων πρῶτος. τὸ δὲ γ ὅμοιον τῷ πρώτῳ. τὸ δὲ δ ἤτοι δακτυλικὸν διπλοῦν, ἢ τροχαϊκὸν πενθημιμερές, εἴτ' ἂν ἢ ἡμιόλιον ἐκ παίωνος. τὸ μέντοι τῆς ἀντιστροφῆς κρητικὸν ἔχει. τὸ ε διπλοῦς παλιμβάκχειος. τὰ ς ζ ἀναπαιστικὰ δίμετρα. τὸ η ἑφθημιμερὲς ὅμοιον. τὰ θ ι παιωνικὰ μονόμετρα ἐκ κρητικῶν. τὰ ια ιβ ιγ ἀναπαιστικὰ δίμετρα ἐπιμεμιγμένα ἰάμβοις. τὰ δὲ τῆς ἀντιστροφῆς καὶ δακτύλοις. τὸ ιδ ὅμοιον ἑφθημιμερές. ὑφ' ὃ ἡ ἔσω διπλῆ διὰ
F τὴν ἀνταπόδοσιν. τὸν Ἑρμῆν δὲ καὶ ταῦτα ἐξάρχειν θέλουσι. μιμεῖται δὲ τοὺς βαρβαρεῖς τοὺς ἐξέλκοντας. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀναμέρος λέγεται. τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος. τὸ δέ, τῶν ἑλκόντων ὑπακουόντων. ἄλλως. ὁ Ἑρμῆς ἐπιτάττει τοῖς ἕλκουσιν. καὶ ἅμα τοῖς μὴ ἕλκουσιν ἐπιτιμᾷ. οἱ δὲ χαίροντες τῇ εἰρήνῃ, ἀποκείνονται. Ἔτι μάλα.] ἔτι σφοδρότερον. προθυμότερον. Οἷ' ὀγκύλλεσθ'.] οἷα φησὶν ἐπερείδεσθε μὲν τῷ χοινίῳ προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον περιβάλ-
G λεσθε καὶ ἀλαζονεύεσθε. ἢ ὡς φιλοπόλεμοι δέ, οὐχ εἷλκον, ἢ ὡς ἔκσπονδοι. Οἰμώξεσθε.] ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ τοῦ Ἀλκμαίωνος σπονδάς αὐτοῖς φησὶ Φιλόχορος γεγενῆσθαι πεντηκονταετεῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων.

CHRIST. Ὦ εἶα] Sequitur Stropha versuũ XIIII. cui similem post XIII. Iambicos habes Antistropham. Primus & tertius versus sunt Palimbachij, secundus Pæon primus, Quartus Dactylicus duplex, vel Trochaicus πενθημιμερὴς, vel ἡμιόλιος ex Pæone, quamuis in Antistropha sit Creticus. Quintus duplex Palimbacchius. Sextus & septimus dimetri Anapæstici. Octauus ἑφθημιμερὴς ὅμοιος, Nonus & decimus Pæonici monometri ex Creticis: vndecimus, XII. & XIII. Anapæstici dimetri mixtis iambis, imò & dactylis in Antistropha. Decimus quartus octauo similis. Hæc etsi obseruatu digna sunt, tamen neque facilia, neque vulgo placent. Pauci enim sunt qui in numerato habeant veterem in metiendo & percutiendo rationem, siue quia difficultate terrentur, siue quia desitus veteris Musicæ, & per multa iam secula obliteratus vsus: mihi semper erunt καλὰ τὰ χαλεπά. Οὐχὶ ξυλλήψεσθ'] Si verò versus hic Anapæsticus est dimeter, τὸ οὐχὶ superuacat, nocétque metiendo versui, neque ad sensum proficit, sufficit enim τὸ οὐ. Sic autem distinguo οὐ ξυλλήψεσθ', οἷ' ὀγκύλλεσθ', οἰμώξεσθ', &c. Niti frustra Bœotos ait, vel potius nisum simulare præ superbia quam ὄγκον vocat. Belli cupidos ita innuit, vel fœdifragos, cùm eos velut pacis malignos extractores in-